Σεγ. 148
21/344
564

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

# ΙΕΡΟΥ ΕΠΙΤΑΦΙΟΥ

ΨΑΛΛΟΜΕΝΗ ΕΝ ΤΗι ΚΟΙΜΗΣΕΙ

ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ

ΚΑΙ

## ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ

ΤΗΝ 15 ΑΥΓΟΥΣΤΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ
148/21

ΕΝ ΑΘΗΝΑΙΣ

ΤΥΠΟΓΡΑΦΕΙΟΝ ΑΔΕΛΦΩΝ Ι. ΚΟΥΒΕΛΟΥ

1920

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

# ΙΕΡΟΥ ΕΠΙΤΑΦΙΟΥ

ΨΑΛΛΟΜΕΝΗ ΕΝ ΤΗι ΚΟΙΜΗΣΕΙ

ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ

ΚΑΙ

## ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ

ΤΗΝ 15 ΑΥΓΟΥΣΤΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ

ΤΥΠΟΓΡΑΦΕΙΟΝ ΑΔΕΛΦΩΝ Ι. ΚΟΥΒΕΛΟΥ

1920

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΙΕΡΟΥ ΕΠΙΤΑΦΙΟΥ

## ΨΑΛΛΟΜΕΝΗ ΕΝ ΤΗι ΚΟΙΜΗΣΕΙ

ΤΗΣ

## ΥΠΕΡΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ

ΚΑΙ

## ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ

ΤΗΝ 15 ΑΥΓΟΥΣΤΟΥ

---

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

Μετὰ τὴν δοξολογίαν ὅ,τε Ἀρχιερεὺς ἢ ἐν ἐλλείψει αὐτοῦ, οἱ ἱερεῖς, ἐξέρχονται τοῦ ἱεροῦ βήματος. καὶ περικυκλοῦσιν ἔνθεν καὶ ἔνθεν τὸν τάφον ψάλλοντες τὰ ἐγκώμια ταῦτα.

### *Στάσις πρώτη*

Ἡ Ζωὴ ἐν τάφῳ κατετέθης Χριστέ. καὶ ἡ Μήτηρ τῆς ζωῆς κατατίθεται, ξένον θέαμα. Ἀγγέλοις καὶ βροτοῖς.

Μεγαλύνομέν Σε Θεοτόκε Ἁγνή, καὶ τιμῶμεν νὴν Ἁγίαν Σου Κοίμησιν καὶ τὸν τάφον προσκυνοῦμεν τὸν Σεπτόν.

Μαριὰμ πῶς θνήσκεις· ἡ ζωὴ τῶν πιστῶν. πῶς δὲ τάφος τὸ Σὸν Σῶμα ἐχώρησε, τὸ χωρῆσαν τὸ ἀχώρητον παντί.

Οὐρανῶν τεκοῦσα Βασιλέα Θεόν, εἰς Οὐράνια βασίλεια σήμερον, μετατίθεσαι Σέμνὴ βασιλικῶς.

Ἐκ τῆς γῆς μετέστης καὶ τῆς γῆς οὐδαμῶς, Παναγία Θεοτόκε ἀφέστηκας, ῥυομένη πάντα Κόσμον τῶν δεινῶν.

Πᾶσα γῆ δοξάζει, τὴν ταφήν Σου Χριστὲ, καὶ ὑμνεῖ και τὰ ἐντάφια Δέσποτα, τῆς Ἀχράντου Σου Μητρὸς πανεάλαβῶς.

Ἄγγελοι ὁρῶντες ἡπλωμένην νεκράν, τὴν τῷ Κόσμῳ τὴν ζωὴν ἀνατείλασαν, ἐκπληττόμενοι ἐθαύμαζον Ἁγνή.

Ἀπεστάλη πάλιν, ἐκ Θεοῦ Γαβριήλ, καὶ τὴν Σὴν Εὐαγγελίζεται ἔξοδον, Ἐπουράνιε Ἀκήρατε Ἁγνή.

Εἰς Νυμφῶνα θεῖον, Σὲ τὴν Νύμφην Θεοῦ, ὁ Νυμφίος προσκαλεῖται θεόνυμφε, συνευφραίνεσθαι ἀεὶ θεοπρεπῶς.

Ἕως θρόνου θείου, ὅπου φῶς τὸ φρικτόν, τῆς Τριάδος καὶ ἀπρόσιτον ἔφθασας, καὶ κατέπαυσας Παρθένε ἀληθῶς.

Τῷ Θεῷ προσῆλθες, τοῦ Θεοῦ μηδαμῶς. ἐκκεχωρισθεῖσα μηδέποτε, Θεοτόκε μεταστᾶσα ἀπὸ γῆς.

Τὸ Σεπτόν Σου Σῶμα, Κόρη, διαφθοράν, καὶ ἐν μνήματι οὐκ οἶδεν, ἀλλ' ἔνσωμος, μεταβέβηκας ἐκ γῆς πρὸς Οὐρανόν.

Τὸ Πανάγιόν Σου πρόσωπον, καὶ νεκρόν, ὡς Παράδεισος ἐφαίνετο Πάναγνε, χάριν πνέον τοῖς ὁρῶσι καὶ ζωήν.

Τῷ Υἱῷ Σου Μῆτερ, τῇ ἀγάπῃ ἡμῶν, τὸν ἐξόδιον ἡμῶν Ὕμνον πρόσδεξαι προσφερόμενον ἐκ βάθους τῆς ψυχῆς.

Ἄνοιξόν Σου Μῆτερ τοὺς Σεπτοὺς Ὀφθαλμούς, καὶ τὰ τέκνα συνηγμένα ἐπίβλεψον, Σοῦ τὴν Κοίμησιν δοξάζοντα σεπτῶς.

Ἄνοιξον τὰ χείλη, καὶ δὸς λόγον ἡμῖν, Παναγία Θεοτόκε, τοὺς δούλους Σου, τελευταῖον μεταστᾶσα ἀφ' ἡμῶν.

Μὴ ἐάσῃς Μῆτερ, ὀρφανοὺς νῦν ἡμᾶς, ἀπὸ γῆς εἰς Οὐρανοὺς νῦν Ἀπαίρουσα. τῷ Υἱῷ συνεσομένη καὶ Θεῷ.

Κύκλῳ τῆς Σῆς κλίνης, παρεστῶτες θερμῶς, ἐκβοῶμεν Σοι Παρθένε, ἐλέησον, Παναγία, σῶσον πάντας τοὺς πιστούς.

Δεῦρο δή μοι Ἄννα, στῆθι νῦν μεθ' ἡμῶν, πανηγύρεως τῆς τῆς Σῆς προεξάρχουσα, Θεομήτορος Ἁγίας θυγατρός.

Δεῦρο δῶμεν δόξαν, αἴνεσιν τε Θεῷ, τῷ καλέσαντι Αὐτὴν εἰς τὰ Ἅγια, ὡς Ἁγίαν τῶν Ἁγίων τοῦ Θεοῦ.

Σήμερον ἐδέχθη Οὐρανὸς Εὐκλεῶς, τὴν Βασίλισσαν παντὸς καὶ εὐφραίνεται, βασιλεύουσαν Θεῷ συνθεωρῶν.

Ὁ Θεὸς τῆς δόξης, ὁ Υἱός Σου Ἁγνή, μετὰ δόξης ὡς Μητέρα προσήκατο, καὶ ἐκάθισεν Αὐτοῦ ἐκ δεξιῶν.

Περιβεβλημμένη νῦν παρέστης Θεῷ, καὶ πεποικιλμένη ἐν χάρισιν, ὡς Βασίλισσα καὶ Μήτηρ τοῦ Θεοῦ.

Ἄγγελοι Παρθένε, διηκόνουν ἐν γῇ, Ἄγγελοι καὶ νῦν ἐν τοῖς Οὐρανοῖς, Σοὶ παρίστανται Ἁγνὴ δουλοπρεπῶς.

Στρατιαὶ Ἀγγέλων, καταπτᾶσαι Σεμνή, μετὰ δέους περιΐσταντο Δέσποινα, τὴν Μετάστασιν θεώμενοι τὴν Σήν.

Νοεραὶ δυνάμεις νοερῶς σὺν ἡμῖν, καὶ νῦν ἤδη παρεστῶσαι συμψάλλουσι, τὴν Μετάστασιν δοξάζουσαι τὴν Σήν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗ… ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ…



Ἐκ περάτων ἦλθον οἱ Χριστοῦ Μαθηταί, λειτουργοῦσαι τῇ κηδεύσει Σου Δέσποινα, καὶ Ὑμνῆσαι Σου τὴν Κοίμησιν Ἁγνή.

Ὁ Θεός, Παρθένε, τοὺς Ἀγγέλους Αὐτοῦ, καὶ τοὺς θείους Ἀποστόλους προέπεμψεν, εἰς κηδείαν τῆς Μητρὸς Υἱοπρεπῶς.

Τῶν Ἁγίων πᾶσαι συμπαρῆσαν ψυχαί, προπατόρων, Προφητῶν, καὶ Δικαίων τε, τὴν ἐξόδιον προφέρουσαι ᾠδήν.

Σὲ δοξάζει πᾶσα, Θεοτόκε Ἁγνή, ζῶσαν τν καὶ νῦν μετὰ θάνατον, Οὐρανίων κ' ἐπιγείων ἡ πληθύς.

Ζεῖς καὶ μετὰ πότμον, Ζωοδόχε Πηγή, ἐκ ζωῆς γὰρ εἰς ζωὴν μεταβέβηκας. ὡς τεκοῦσα τὴν Ἀείζωον ζωήν.

Εἰ καὶ Κόρη θνήσκεις, ἤδη νῦν καθ' ἡμᾶς, ἀλλὰ πάντων Βασιλὶς ἀναδέξειξαι, ὡς τὸν Κτίστην συλλαβοῦσα τοῦ Παντός.

Εἰ καὶ συγκαλύπτῃ τάφῳ, Κόρη, σμικρῷ, ἀλλ' αὐτὸς ὁ Οὐρανός Σοι ἠνέωκτο, καὶ ἐν Θρόνῳ ὑπεδέξατο Θεός.

Ὁ Πατρὸς ἐκ κόλπων, ἐκφοιτήσας Θεός, καὶ ἐν κόλποις εἰσελθὼν τοῖς Σοῖς Ἄχραντε, ὑπεδέξατο ἐν κόλποις Σὲ Ἁγνή.

Ὁ Θεὸς ἐτάφη, καὶ ἡ Μήτηρ Θεοῦ, ἐν τῷ Ἅδῃ ὁ Θεὸς καταβέβηκε, καὶ ἡ Μήτηρ Ὑπεισῆλθε τοῦ Θεοῦ.

Τὸν Υἱὸν Παρθένε, οὐδὲ ἐν τῷ Σταυρῷ, ἐγκατέλιπες, δι' ὃ οὗ κατέλιπε, Σε νῦν ἤδη συμπαρὼν σωματικῶς.

Τὴν ταφὴν δοξάζεις τοῦ Υἱοῦ μητρικῶς καὶ Αὐτὸς ἀντιδοξάζει τὴν Κοίμησιν, τὴν Ἁγίαν Σου Παρθένε θεϊκῶς.

Ἤνεσάν Σε πάντες Ἄγγελοι τοῦ Θεοῦ, ὅτε Κόρη Οὐρανοὺς Ὑπερβέβηκας. καὶ πεσόντες προσεκύνησαν σεπτῶς.

Θρόνῳ προσελθοῦσα τοῦ Ὑψίστου Θεοῦ, προσπεσοῦσα δουλικῶς προσεκύνησας, καὶ παρέστηκας Ὁρῶσα τὸν Θεόν.

Ὢ χαρᾶς ἀφθάστου! Ὢ Ἀπείρου τιμῆς! Μαριὰμ σὺν Ἰησοῦ τῷ Υἱῷ Αὐτῆς, βασιλεύει Οὐρανοῦ τε καὶ τῆς γῆς.

Θεοεόκε Κόρη, μεταστᾶσα τῆς γῆς. τοὺς ἐν γῇ μὴ διαλίπῃς φυλάττουσα, προσκυνοῦντας τὴν Μετάστασιν τὴν Σήν.

Οὐρανόθεν Μῆτερ, ὅπου νῦν καττικεῖς ἐπιβλέψασα τὴν γῆν Εὐσπλαγχνίσθητι, καὶ ἐλέησον τὸν Κόσμον Ἀγαθή.

Οἱ Ἀπόστολοί Σου, Θεοτόκε Ἁγνή, Τὸ πανάγιον ὡς εἴδοσαν Σκῆνος Σου, προσπεσόντες κατησπάζοντο σεπτῶς.

Ἐξωδίους ὕμνους συνῳδὰ καὶ ᾠδάς, συστησάμενοι χορείαν ἔξῃδον Σοι, ἐξιστάμενοι τῇ Δόξῃ Σου Ἁγνή.

Ἐκ θεοπρεποῦς Σου ἀγλαΐας ἐκεῖ, ἐλλαμπόμενοι Παρθένε ἠγάλλοντο, καὶ ἐδόκουν τὸν Υἱόν Σου καθορᾶν.

Τὸ ζωαρχικόν Σου Σκῆνος ποίαις χερσί, νῦν προσψαύσωμεν Πανάχραντε ἔλεγον, τὸ τοῦ Λόγου ἐνδιαίτημα σεπτόν.

Ποίους λόγους Κόρη, Σοὶ προσείπομεν νῦν ; ποίους Ὕμνους Ὑπερύμνητε Δέσποινα, τῇ Κοιμήσει Σου προσοίσωμεν ἡμεῖς.

Μαριὰμ Παρθένε, τὸ γλυκὺ τοῦ Θεοῦ Ὄνομα καὶ πρᾶγμα πῶς τέθνηκας, ἡ θεώσασα τὴν φύσιν τῶν βροτῶν.

Πῶς ὡράθης ἄπνους, ἡ τὸν πᾶσαν πνοήν, παρεχόμενον ἀρρήτως γεννήσασα, ὢ τοῦ πράγματος Παρθένε τοῦ καινοῦ.

Πῶς ἡ Ὑπερβᾶσα φύσεως τοὺς θεσμούς, ὑποκύπτεις τοῖς τῆς φύσεως Δέσποινα, καὶ θανάτου πεῖραν ἔσχες καθ' ἡμᾶς.

Ἡ τὴν νεμομένην τοῦ θανάτου ὁρμήν, στήσασα Παρθένε τῷ τόκῳ Σου, πῶς θανάτου νῦν Ὑπέστης τὴν φθοράν ;

Ἡ πυρφόρος βάτος πῶς πυράγραις αὐτοῦ, τοῦ θανάτου συνεσχέθης Θεόνυμφε, ἡ βαστάσασα Θεότητος τὸ πῦρ.

Ἐκοιμήθης Κόρη, οὐχὶ τέθνηκας νῦν, καὶ πρὸς κρείτονα ζωὴν καὶ ἀθάνατον, ἀφυπνώσασο Εὑρέθης ἐν σαρκί.

Κιβωτὸς ἡ θεία, ἐν σκηνῇ θαυμαστῇ, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ κατεσκήνωσε, διαθήκης τοῦ Θεοῦ τῆς πρὸς ἡμᾶς.

Ἡ Χρυσέα στάμνος, μετετέθης τῆς γῆς, ἔνθα μάννα τὸ Οὐράνιον τίθεται, ἡ θεόπαις Μαριὰμ πρὸς τὸν Θεόν.

Τοῦ Θεοῦ καὶ Λόγου ἡ παστὰς ἀπὸ γῆς, εἰς Οὐράνιον παστάδα εἰσέρχεται, ὑπὲρ λόγον ἡ θεόνυμφος Ἁγνή.

Τοῦ Εὐαγγελίου τεθησαύρισται νῦν, μαργαρίτης ὁ πολύτιμος σήμερον, ἀποκρύ ροις θησαυροῖς τοῖς τοῦ Θεοῦ.

Τῆς Οἰκονομίας τῆς ἐνσάρκου Θεοῦ, τὸ κεφάλαιον αὐτὸ καὶ μυστήριον, ἡ Μετάστασις ἡ Σὴ πρὸς τὸν Θεόν.

Βλέποντές Σε, Κόρη, τὴν Μητέρα Θεοῦ, ἐδοκοῦμεν τὸν Θεὸν βλέπειν πάντοτε, πῶς δ' ὑποίσομεν νυνὶ τὸν χωρισμόν ;

Ἄπνουν Σε προβλέπειν, τὴν τὸ Πνεῦμα Θεοῦ, κεκτημένην Σε Θεόνυμφε ἔνοικον, συνεκλείπει καὶ τὸ πνεῦμα τὸ ἡμῶν.

Θεοτόκε Κόρη, ἡ χαρὰ ἡ ἡμῶν, Θεοτόκε τὸ ἡμέτερον κήρυγμα, Θεοτόκε ποῦ ἀπαίρεις ἀφ' ἡμῶν ;

Ποῦ ἀπαίρεις Κόρη ; ποῦ μεθίστασαι νῦν ; Ὑπεράνω Οὐρανῶν Ὑπερίπτασαι, ἐκλιποῦσα ἐπὶ γῆς τοὺς νεοσσούς.



Δαβὶδ ὁ θεοπάτωρ, πάρεσο ἤδη νῦν, ἐν ἐξόδῳ τῆς Μητρὸς τοῦ Θεοῦ ἡμῶν, καὶ εὐσήμῳ ἐν ἡμέρᾳ Ἑορτῆς.

Ἄρατε τὰς πύλας τοῖς Ἀγγέλοις Θεοῦ, ἀναβόησον καὶ νῦν ὑποδέξασθε, τὴν Μητέρα τοῦ Θεοῦ θεοπρεπῶς.

Ὁ Ὡραῖος κάλλει Βασιλεὺς Οὐρανῶν, νῦν τοῦ κάλλους τῆς Μητρὸς ἐπεθύμησε, καὶ ἐκάλεσεν Αὐτὴν ἐν Οὐρανοῖς.

Εἰ καὶ κόρη δέχῃ τὴν ταφὴν ὡς θνητή, ἀλλ' ὡς Μήτηρ τοῦ Θεοῦ ἐξανέστης δὲ διὰ πνεύματος Θεοῦ τοῦ παντουργοῦ.

Θεοδόχον Σῶμα, εἰ καὶ τάφῳ χωρεῖ ἀλλ' ἐν τάφῳ διαμένειν οὐκ ἔμαθεν, ἀλλ' ἀνίσταται δυνάμει θεϊκῇ.

Ἡ ταφή Σου κλῖμαξ Θεοτόκε Ἁγνή, Σοὶ τῇ κλίμακι Οὐράνιος γέγονε, δι' ἧς ἔφθασες Θεὸν τὸν ἐπ' αὐτῆς.

Ὁ φωσφόρος λύχνος τοῦ ἀδύτου φωτός, ὑπὸ γῆν μὲν πρὸς μικρὸν ὑποκρύπτεται, ἀλλὰ τέθειται λαμπρῶς ἐφ' ὑψηλοῦ.

Ἡ καταρασθεῖσα ἐκ Θεοῦ ἅπαξ γῆ, ἡγιάσθη τῇ ταφῇ τοῦ Θεοῦ ἡμῶν, καὶ νῦν πάλιν τῇ ταφῇ Σοῦ τῆς Μητρός.

Οὐρανόθεν πίπτει, φεῦ, ὁ ἄσαρκος πρίν, ὑπεράνω Οὐρανῶν βαβαὶ γίνεται, νῦν ἡ ἔνσαρκος Παρθένος Μαριάμ.

Τὸ ἀξίωμά Σου καὶ ἡ δόξα Ἁγνή, εἰσελήλυθε τῆς δόξης ἐνώπιον τοῦ Κυρίου μεταστᾶσα ἀπὸ γῆς.

Πύλη διὰ πύλης, ὢ πραγμάτων καινῶν, Οὐρανὸς εἰς Οὐρανὸν νῦν εἰσέρχεται, καὶ ὁ θρόνος ἐν τῷ θρόνῳ τοῦ Θεοῦ.

Δόξα

Ἀνυμνοῦμεν Λόγε Σέ, τὸν πάντων Θεόν, σὺν Πατρὶ καὶ τῷ Ἁγίῳ Σου Πνεύματι καὶ δοξάζομεν τὴν θείαν Σου Μορφήν.

Καὶ Νῦν

Μακαρίζομέν Σε πᾶσαι αἱ γενεαί, Θεοτόκε Ἀειπάρθενε Δέσποινα, καὶ δοξάζομεν τὴν Κοίμησιν τὴν Σήν.

Αἴτησις καὶ ἐκφώνησις (ὅτι εὐλόγηται)

***Στάσις Δευτέρα***

Ἄξιον ἐστί, μεγαλύνειν Σε τὸν Ζωοδότην, τὸν τὴν ζωηφόρον Μετάστασιν μεγαλύναντα Μητρός του τῆς Ἁγνῆς.

Ἄξιν ἐστί, μεγαλύνειν Σε τὴν Θεοτόκον, τὴν ψυχὴν τὴν θείαν καὶ ἄμωμον, ἐν Χερσὶ παραθεμένην τοῦ Θεοῦ.

Ἵστατο πλῆθος καὶ ἐξίστατο πᾶσα Ἀγγέλων, βλέπουσα Θεὸν τὸν Ἀπρόσιτον, προσιόντα τῇ Μητρὶ σεμνοπρεπῶς.

Ἔφριξε Θεόν, κατερχόμενον πάλιν ὁρῶσα, καὶ ψυχὴν φρικτῷ χειριζόμενον καὶ ἐν Δόξῃ ἀνελθόντι θεϊκῇ.

Φρῖξον Οὐρανέ, καὶ σὺ ῥήματα γῆ ἐνωτίζου, Θεὸς ὑπὲρ πάντων νῦν κάτεισι, καὶ νῦν δεύτερον εἰς γῆν ὑπὲρ Μητρός.

Οἶκον ἑαυτῆς μετοικήσασα γῆς ἡ Σοφία, πρὸς τὸν ἑαυτῆς Ὑπερκόσμιον, νῦν ἐπλήρωσε της δόξης τοῦ Θεοῦ.

Οὐκ ἐξ Οὐρανοῦ ἡ θεόνυμφος Κόρη κατέβη, ἀλλ' εἰς Οὐρανοὺς ἀναβέβηκεν ἡ τεκοῦσα Ἐπουράνιον Θεόν.

Νῦν ὁ Οὐρανὸς βάτος γέγονε καὶ τοῖς ἀνθρώποις, δεῦτε Χριστοφόροι οὖν ἅπαντες συνανέλθωμεν Μητρὶ τῇ τοῦ Θεοῦ.

Ἔδυς ὑπὸ γῆν ἡ Ἀνήροτος γῆ τοῦ Κυρίου, στάχυν τῆς ζωῆς ἡ βλαστήσασα καὶ ἐν χώρᾳ ὑπεξέδυς Οὐρανοῦ.

Ἥλιος ἰδών, πρὶν τὸν Ἥλιον δικαιοσύνης, εἶδε καὶ σελήνη νῦν δύσασαν, τὴν Παρθένον καὶ Μητέρα τοῦ Φωτός.

Τάφος ἀφεγγής, τὸ κατάσκιον καὶ φωτοφόρον, ὄρος τοῦ Κυρίου ἐκάλυψε, τὸ καλύψαν Οὐρανοὺς τῇ ἀρετῇ.

Εἰ καὶ ἀπὸ γῆς, πρὸς Οὐράνια μετέστης Κόρη, ἀλλὰ πᾶσα γῆ συναγάλλεται, καὶ δοξάζει τὴν Μετάστασιν τὴν Σήν.

Εἰ καὶ Οὐρανός, τὸ ἀκήρατον Σῶμα συνέχει, ἀλλ' ἡ Χάρις Κόρη ἐκκέχυται, καὶ πληροῖ ἅπαν τὸ πρόσωπον τῆς γῆς.

Ὕμνοις πρὸς Θεόν, προσευχαῖς τε καὶ νηστείαις, Κόρη, ταύτας τὰς ἡμέρας σχολάζουσα, ἐξεδέχου τὴν Μετάστασιν τὴν Σήν.

Χαίρει ἡ ψυχή, καὶ τὸ πρόσωπον φῶς ἐξαστράπτει, ἤδη ἐκδημούσης πρὸς Κύριον, Παναγία καὶ Κυρία τῶν πιστῶν.

Ἤδη οἱ πιστοί, Ἐπιτάφιον Ὕμνον τελοῦμεν, Σοὶ τῇ ἀπαρχῇ τῆς ζωῆς ἡμῶν, παριστάμενοι τῷ Τάφῳ Σου σεπτῶς.

Πόθῳ Σε πιστοί, νῦν Ὀρθρίζοντες δοξολογοῦμεν, Δέσποινα Παρθένε Ἀμόλυντε, καὶ δοξάζομεν τὴν Κοίμησιν τὴν Σήν.

Μνήσθητι ἡμῶν. τὴν Μετάστασιν τὴν Σὴν Παρθένε, τῶν πιστῶς ὑμνούντων Θεόνυμφε, ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν

Νῦν ὁ δυνατός, ὡς προέφησας Σοὶ μεγαλεῖα, Ἄχραντε Παρθένε ἐποίησεν, Οὐρανοῦ τε καὶ τῆς γῆς ὁ Ποιητής.



Ἵστασαι νυνί, πρὸ Θεότητος τῆς Τριπροσώπου, πρόσωπον πρὸς πρόσωπον βλέπουσα, ὅπου πρόσωπα καλύπτει Σεραφείμ.

Νῦν ὁ Οὐρανός, συναγάλλεται τῇ γῇ καὶ χαίρει, ἄνθρωποι Ἀγγέλοις συνήνωνται, μεταστάσης τῆς Ἁγνῆς ἐν Οὐρανῷ.

Νῦν Ἰωακείμ. συνευφραίνεται ἐπὶ τῇ δόξῃ, τῆς Παιδὸς Αὐτοῦ καὶ Θεόπαιδος, τῇ ἀρρήτῳ καὶ ἐνθέῳ ἀληθῶς.

Ἡ Γεθσημανῆ, τὸν μακάριον τάφον λαχοῦσα, καὶ παρθενικὸν μακαρίζεται, τιμωμένη ὡς παστὰς βασιλική.

Δεῦτε οἱ πιστοί, εἰς τὸν Ἅγιον Τάφον Κυρίου, καὶ τῆς Παναγίας Μητρὸς Αὐτοῦ, προσκυνήσωμεν ἐν φόβῳ καὶ χαρᾷ.

Ἱερουσαλήμ, καταλάβωμεν πάντες προθύμως, καὶ τὰ τελεσθέντα μυστήρια, ἐποψόμεθα Θεοῦ τὰ πρὸς ἡμᾶς.

Ἄγγελοι σεπτῶς, περιέπουσιν Ἁγνὴ τὸν τάφον τὸν σεπτόν Σου φῶς ἐξαστράπτοντα, φωτιζόμενον φωτὶ τῷ τοῦ Θεοῦ.

Ἔφριξον ὁμοῦ, ἐναέρια πνεύματα πάντα, τὴν εἰς Οὐρανούς Σου Ἀνάβασιν, καὶ κατέπτηξαν τὸ κράτος Σου Ἁγνή.

Ἔπτηξε Σατάν, ἰδὼν αὖθις τὸ φῶς ἐν τῷ Ἅδῃ, καὶ θρηνῶν καὶ στένων ἐκραύγαζε, τί ἐμοὶ καὶ Σοί, ὦ Μῆτερ τοῦ Θεοῦ.

Ὢ πλοῦτος Θεοῦ, ὢ ἀμέτρητον βάθος ἀγάπης καὶ τὰ καταχθόνια ἔπλησε, τῆς ἐνδόξου παρουσίας τῆς Μητρός.

Πρὶν ὑπὲρ ἡμῶν, ἐν τῷ Ἅδῃ ὁ Χριστὸς κατῆλθε, νῦν δὲ δι' ἡμᾶς ἀνελήλυθεν, ἡ Παρθένος Μαριὰμ ἐν Οὐρανῷ

Κάθοδον Θεοῦ, καὶ τὴν ἄνοδον τὴν Σὴν Παρθένε, προσκυνῶ, δοξάζω καὶ σέβομαι, ὡς αἰτίας τῆς Εἰσόδου μοι ζωῆς.

Ζώνην τὴν σεπτήν, εἰς μαρτύριον τῆς Σῆς ἐνσάρκου, γῆθεν πρὸς Θεὸν Μεταστάσεως, ἐγχειρίζεις Θεοτόκε τῷ Θωμᾷ.

Εἰ καὶ ὁ Θωμᾶς, νῦν ὁ Δίδυμος πάλιν ἐκλείπει, ἀλλὰ Μυστηρίου ἠξίωται, θειοτέρου τῶν λοιπῶν συμμαθητῶν.

Ὢ τῶν δωρεῶν, ἡ Μετάστασις ἡ Σὴ Παρθένε, ἴσων Μυστηρίων ἠξίωται, τῇ ἐνδόξῳ Ἀναστάσει τοῦ Χριστοῦ.

Ἀραβιανόν, σκολιώτατον γένος Ἑβραίων, τὸν Υἱὸν σταυρῷ παραδέδωκας καὶ τὰς χεῖρας νῦν κινεῖς κατὰ Μητρός.

Πῶς τῆς Κιβωτοῦ, τὸ κιβώτιον Θεοῦ τοῦ ζῶντος, κατασπᾶν ἀλάστωρ τετόλμηκας; ἀλλ' ὑπέφθασεν ἡ δίκη τὴν τομήν.

Κάτω Σε Ἁγνή, οἱ Ἀπόστολοι περιεκύκλουν, ἄνω αἱ Δυνάμεις ὑπήντουν Σοι, ὡς Ἀγγέλων τε Κυρία καὶ βροτῶν.

…ΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ … ΝΤΟΡΗΣ ΠΑΠΑ…

Θρῆνον ἱερόν, συντελοῦντες Σοι Κόρη ἐβόων, πῶς Σε τοῦ Θεοῦ τὸ παλάτιον συγκαλύψωμεν τῇ γῇ νεκροπρεπῶς.

Πῶς τὸν λογικόν, ὑπὲρ ἔννοιαν πᾶσαν καὶ λόγον, τοῦ Υἱοῦ καὶ Λόγου Παράδεισον, παραδώσωμεν τῷ τάφῳ Σε Ἁγνή

Λόγοις θεϊκοῖς, θεοκήρυκας παραμυθοῦσα, τὸ πολὺ τῆς λύπης διέλυες, προσλαλοῦσα Θεομήτωρ μητρικῶς.

Πένθος τὴν χαρὰν, τοῦ Κυρίου καὶ Υἱοῦ μου τέκνα, τῆς πρὸς τὸν Θεὸν ἐκδημίας μου, μὴ ἐργάσησθε τοῖς δάκρυσιν ὑμῶν.

Πρέσβυς πρὸς Θεόν, ἤδη ἄπειμι ὑπὲρ τοῦ Κόσμου, μεθ' ὑμῶν εἰμὶ ἐν τῷ Κόσμῳ δέ, σὺν Κυρίῳ ὡς ὑπέσχετο ἀεί.

Φρίττομεν Ἁγνή, τὸ Πανάγιον καὶ θεοδόχον, σῶμά Σου προσψαῦσαι οἱ δοῦλοι Σου, καὶ κηδεῦσαι τὴν Μητέρα τῆς ζωῆς.

Τίνας στολισμούς; τίνα σπάργανα Κόρη καὶ μῦρα; τίνα δὲ ἐντάφια ᾄσματα, τῇ κηδεύσει Σου προσφέρομεν Ἁγνή;

Βασιλεῖς τῆς γῆς, καὶ οἱ πλούσιοι λαοῦ Παρθένε, πρόσωπον τὸ Σὸν λιτανεύουσι, Βασιλέως Οὐρανοῦ ὡς θυγατρός.

Θεὸς ἐν Μητρί, ἀνεπαύσατο ἐν γῇ ὡς βρέφος, νῦν δ' ἐν Οὐρανῷ ἀναπαύεται, καὶ εὐφραίνεται ἡ Μήτηρ ἐν Θεῷ.

Νῦν ἡ Μαριάμ, τὸ Πανάχραντον Σῶμα Κυρίου, τὸ τεθεωμένον ἀγάλλεται, θεωμένη ἐν τῷ θρόνῳ τοῦ Θεοῦ.

Ἤκουσας ἐκεῖ, νῦν τὰ ἄρρητα ῥήματα Κόρη, καὶ τὰ τῆς σοφίας Σοι ἄδηλα, καὶ τὰ κρύφια ἐδήλωσε Θεός.

Ἤρθη ἀπὸ γῆς, ἡ περίδοξος πόλις Κυρίου, περὶ ἧς ἐνδόξως λελάληνται, καὶ εἰσήχθη εἰς τὸν Οἶκον τοῦ Θεοῦ.

Ἤρθη ἀπὸ γῆς, ἡ ἀμίαντος γῆ καὶ Παρθένος, ἐξ ἧς ὁ Ἀδὰμ πεπλαστούργηται, τοῦ προπάτορος Ἀδὰμ ὁ πλαστουργός.

Νῦν ὁ Οὐρανός, ὑποδέχεται Θεοῦ τὸ ἅρμα, μυριοπλασίως τὸ Ἅγιον, σὺν Ἁγίων μυριάσιν εὐκλεῶς.

Σήμερον ἐκ γῆς, ἡ ἀμόλυντος Παναγνοτάτη, ἔνθα τὸ ἀρχέτυπον ἵδρυται, ἀναφέρεται Εἰκὼν καινοπρεπῶς.

Ἐνθεαστικῶς τὸν θεόγλυπτον νῦν Ἀνδριάντα, κάλλος τὸ τῆς γῆς περιούσιον, μετατίθησι Θεὸς ἐν Οὐρανῷ.

Βίβλος μυστική, ἐν ᾗ γέγραπται Θεοῦ ὁ Λόγος, ἐν χερσὶ Θεοῦ κατατίθεται, Οὐρανίων μυστηρίων εἰς γραφήν.

Ὡς περιστερὰ τετρωμένη τῆς Ἀγάπης Κόρη, θρόνον τοῦ Θεοῦ περιίπτασαι, παριπτᾶσα νοσιὰν τὴν ἐπὶ γῆς.



Γῆς καὶ Οὐρανῶν, Παμβασίλισσα, οἷα Μαρία, εἰς τὴν Βασιλείαν εἰσάγαγε, τοὺς δοξάζοντας τὴν Κοίμησιν τὴν Σήν.

Κοίμησον Ἁγνή, τῇ Κοιμήσει Σου τῇ ζωηφόρῳ, παῦσον Ἐκκλησίας τὰ σκάνδαλα, καὶ στερέωσον Αὐτὴν ὡς Ἀγαθή.

Ὑμνοῦμεν Ἁγνή, νῦν τὴν Κοίμησιν καὶ τὴν ταφήν Σου, καὶ πάντες πιστῶς ἐκθειάζομεν, λυτρωθέντες τοῦ θανάτου διὰ Σοῦ.

Κλίνην τὴν σεπτὴν τὴν Ἁγίαν Σε καὶ θεοδόχον, σεπτῶς ἐπὶ κλίνης θεώμενοι, οἱ Ἀπόστολοι ἐβόων ἐν κλαυθμῷ.

Ἔντεινε σεμνή, Ἀειπάρθενε Κόρη Μαρία, καὶ κατευοδοῦ καὶ βασίλευε, εἰς αἰῶνας τῶν αἰώνων σὺν Θεῷ.

Δόξα

Ἄναρχε Θεέ, συναΐδιε Λόγε καὶ Πνεῦμα, ὕψωσον τὸ κέρας Χριστιανῶν, ὡς Παντελεήμων καὶ Ἀγαθός.

Καὶ Νῦν

Τέξασα ζωήν, Παναμώμητε Ἁγνὴ Παρθένε, καὶ πρὸς τὴν ζωὴν μεταστᾶσα νῦν, καταξίωσον καὶ πάντας τοὺς πιστούς.

Αἴτησις καὶ ἐκφώνησις (ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν)

## *Στάσις Τρίτη*

Αἱ γενεαὶ πᾶσαι Ὕμνον τῇ ταφῇ Σου προσφέρουσι Παρθένε.

Δεῦρο πᾶσα κτίσις, ὕμνους ἐξοδίους προσοίσωμεν τῇ Κόρῃ.

Οἱ Μαθηταὶ Χριστοῦ μου, κηδεύουσι τὸ Σῶμα Μητρὸς τῆς τοῦ Θεοῦ μου.

Ἀγγέλων Ἀρχαγγέλων, αἱ τάξεις παρεστῶσαι, συνύμνουν ἀοράτως.

Αἱ τίμιαι γυναῖκες μετὰ τῶν Ἀποστόλων, ἐβόων θρηνῳδοῦσαι.

Ἀπείρανδρε Παρθένε, Θεοῦ Μῆτερ Ὑψίστου, πῶς φέρωμεν τὸ πάθος.

Ἡ Σὴ νῦν ἐκδημία, χαρὰ παντὶ τῷ Κόσμῳ, ἡμῖν δὲ πένθος λύπη.

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΠΑΣΤΡΑΤΟΣ ΝΕΣΤΟΡΗΣ

Τῆς Σῆς φιλοστοργίας, καὶ τῆς κηδεμονίας, μὴ ἀπορφανισθῶμεν.

Πῶς τὸ γλυκὺ τὸ ὄμμα, τὸ φῶς ἡμῶν Παρθένε, ὑποίσωμεν μὴ βλέπειν;

Πῶς τὸ φιλόθεόν Σου, καὶ θεολόγον Στόμα, σιγῇ φεῦ, συνεδέθη;

Μητρὸς τοῦ Διδασκάλου, ἡμῶν οὐκ ἀποστῶμεν, Ἀπόστολοι ἐβόων.

Ἐν νεφέλαις πάλιν, προπέμψωμεν Σε Κόρη, ἕως τῶν Οὐρανίων.

Ἡ ῥάβδος ἡ Ἁγία, τάφῳ κατατεθεῖσα, ζωὴν ἀναβλαστάνει.

Τῷ τάφῳ κατετέθη ἡ τοὺς νεκροὺς ἐκ τάφων, ἐγείρασα τῷ τόκῳ.

Ποῦ ἀπαίρεις, Μῆτερ, ὁ φίλος καὶ Παρθένος, Υἱοπρεπῶς ἐβόα.

Εἰς τὴν χαρὰν Υἱοῦ Σου, ἀπαίρεις Θεομῆτορ καὶ γέγηθας καὶ Χαίρεις.

Ἡ ἐν Κανᾶ τῷ γάμῳ, νῦν πάλιν προεκλήθης, μετὰ τῶν Ἀποστόλων.

Παράλαβε Παρθένε, πρὸς τὸ Σὸν θεῖον τέκνον, κἀμὲ τὸν ὑπηρέτην.

Μετάστησον με Μῆτερ, τῇ Σῇ νῦν Μεταστάσει. πρὸς τὸν ἐκ Σοῦ τεχθέντα.

Ἵνα συμπάραστῶμεν ἐν Οὐρανῷ τῇ δόξῃ, ὡς ἐν Σταυρῷ τῷ πάθει.

Σὺν νόων μυριάσιν, κατῆλθεν ὁ Δεσπότης, Γεθσημανὴ ἀγάλλου.

Τῶν μαθητῶν χορεία, εὐφράνθητε ἰδόντες. τὸν Κύριον ἐν Δόξῃ,

Πᾶσα ἡ γῆ σκιρτάτῳ, Θεὸν οὖν κατιόντα, σήμερον κατιδοῦσα.

Ἐξέλθωμεν ταχέως, εἰς Ὑπαντὴν Κυρίου, αὖθις συγκαταβάντος.



Ἀκουτισθῶμεν πάντες, Θεοῦ νῦν συλλαλοῦντος, Μητρὶ τῇ Παναχράντῳ.

Ὦ γλυκυτάτη Μῆτερ, πρὸς τὸ γλυκύτατόν Σου, ἐλθὲ χαίρουσα τέκνον.

Ἴδε νῦν ὁ Υἱός Σου, ἰδοὺ παραλαβεῖν Σε εἰς τὰ ἴδια ἦλθε.

Ἐνώπιον τῆς δόξης, Πατρὸς ἐμφανισθῆναι τὴν δόξαν τῆς Μητρός μου.

Λοξάζω Σου Θεέ μου, πρὸς τὸν Υἱὸν ἡ Μήτηρ, τὴν ἄκραν Εὐσπλαγχνίαν..

Δοξάζω Σε Υἱέ μου, καὶ προσκυνῶ τὴν δόξαν, τῆς Σῆς μεγαλωσύνης.

Πλησίον τοῦ Πατρός μου, ἐλθέ μου ἡ πλησίον, τῆς γῆς ἐξαναστᾶσα.

Κῆπος ὁ κεκλεισμένος, ἔνθα ζωῆς τὸ ξύλον καὶ τῆς Ἀθανασίας.

Πηγὴ ἐσφραγισμένη, ὅπου τρυφῆς Χειμάρρους, τῆς Πανυπεραρρήτου.

Ὑμνολογῶ Υἱέ μου, τὸ τῆς Θεότητός Σου τῆς Ὑπερθέου Κράτος.

Ὑμνολογῶ Θεέ μου, τὴν συγκατάβασίν Σου, καὶ τὴν φιλανθρωπίαν.

Δεῦρο ἡ Καλή μου, ἀπόλαυε τοῦ κάλλους, τοῦ Σοῦ Υἱοῦ καὶ Πλάστου.

Δεῦρο δή μου Μῆτερ, εἰς τὴν χαρὰν τὴν θείαν, καὶ εἰς τὴν Βασιλείαν.

Δεῦρο δὴ Μαρία, ἔνθα συμπροσκυνεῖται, Πατὴρ, Υἱὸς καὶ Πνεῦμα.

Τί Σοὶ ἀνταποδώσω, Θεάνθρωπε Υἱέ μου, ἡ Δούλη τῷ Δεσπότῃ.

Τί νῦν Σοι προσενέγκω, ἐν Οὐρανῷ Θεέ μου, εἰμὴ ψυχὴν καὶ Σῶμα.

Δοξάζω τὸν Πατέρα, Ὑμνῶ Σε τὸν Υἱόν Μου, καὶ προσκυνῶ τὸ Πνεῦμα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Δόξα Σοι Θεοτόκε, Δόξα τῇ Σῇ γεννήσει, Δόξα καὶ τῇ Κοιμήσει.

Ἀδάμ τε καὶ ἡ Εὔα, ἐξέστησαν ἰδόντες, τὴν δόξαν τῆς Παρθένου.

Ἰωακεὶμ καὶ Ἄννα, μακάριοι τεκόντες τῷ κόσμῳ θυγατέρα.

Ὑπερδεδοξασμένην, ὑπερανῳκισμένην οἷα Θεοῦ Μητέρα.

Εἰρήνην Ἐκκλησίᾳ, λαῷ Σου σωτηρίαν, δώρησαι Σῇ Κοιμήσει.

Ἔρραναν τὸν τάφον, ὁ Πέτρος καὶ ὁ Παῦλος μετὰ θερμῶν δακρύων. (Ἐκ Γ΄.)

Δόξα

Ὦ Τριὰς Θεέ μου Πατήρ, Υἱὸς καὶ Πνεῦμα, ἐλέησον τὸν κόσμον.

Καὶ Νῦν

Ἰδεῖν τὴν τοῦ Υἱοῦ Σου, Παρθένε Βασιλείαν, ἀξίωσον Σοὺς δούλους.

Αἴτησις καὶ ἐκφώνησις (Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς Εἰρήνης, . . . . εἶτα ψάλλονται τὰ Εὐλογητάρια ἀργῶς).

---

# ΕΥΛΟΓΗΤΑΡΙΑ

Εὐλογημένη Δέσποινα, φώτισόν με φωτὶ τῷ τοῦ Υἱοῦ Σου.

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν Σε, ἐν νεκροῖς λογισθεῖσαν, τὴν ψυχὴν δὲ εἰς χεῖρας τοῦ Θεοῦ παραθεῖσαν, καὶ σὺν τῷ Θεῷ ἀνελθοῦσαν Ἄχραντε, μετὰ δόξης θείας εἰς τὰ Οὐράνια.

Εὐλογημένη Δέσποινα, φώτισόν με φωτὶ τῷ τοῦ Υἱοῦ Σου

Τίνος χάριν τὴν χαρὰν τοῖς δάκρυσι θεοκήρυκες κερνᾶτε; ὁ ἐξ ὕψους προσφοιτήσας Δίδυμος, προσεφθέγγετο τοῖς Ἀποστόλοις, ἴδετε Ὑμεῖς τὴν ζώνην καὶ ἤσθητε, ἡ Παρθένος ἐξανέστη τοῦ μνήματος.

Εὐλογημένη Δέσποινα, φώτισόν με φωτὶ τῷ τοῦ Υἱοῦ Σου

Ὁ Μαθητὴς ἀπιστήσας Δέσποινα, Ἀνάστασιν τὴν τοῦ Υἱοῦ Σου, νῦν πιστοῦται τοὺς λοιποὺς τὴν ἔγερσίν Σου λέγων, θρήνου ὁ καιρὸς πέπαυται μὴ κλαίετε, τὴν Ἀνάστασιν δὲ τῆς Παρθένου εἴπατε.

Εὐλογημένη Δέσποινα, φώτισόν με φωτὶ τῷ τοῦ Υἱοῦ Σου

Θεοφόροις Παρθένε, Μαθηταῖς ἠθροισμένοις, πρὸς τὸ μνῆμα Σου καὶ θρηνολογοῦσιν, ἐπιφανεὶς ὁ Θωμᾶς ἔφη λέγων, τί μετὰ νεκρῶν τὴν ζῶσαν λογίζεσθε; ὡς Θεοῦ γὰρ ἐξανέστη Γεννήτρια.

Δόξα

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα ἐν μιᾷ τῇ Οὐσίᾳ, σὺν τοῖς Σεραφεὶμ κράζοντες τὸ Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε.

Καὶ Νῦν

Ζωοδότην τεκοῦσα, πρὸς ζωὴν τῆς ἀγήρω μεταβέβηκας ἤδη, χαρμονὴν δὲ Παρθένε, ἀντὶ λύπης παρέσχες πρὸς τοὺς Μαθητάς. ἐκ τάφου τριήμερος, ἀναστᾶσα Κόρη καθὼς ὁ Κύριος.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα Δόξα σοι ὁ Θεός. (Ἐκ Γ΄.)

Καὶ τούτων πληρουμένων, ἐξέρχονται τῆς Ἐκκλησίας καὶ ποιοῦσι λιτανείαν, ψάλλοντες τὸ τρισάγιον ἀργῶς, ἔχοντες τὸν Ἐπιτάφιον οἱ ἱερεῖς ἐπὶ τῆς κεφαλῆς περιερχόμενοι ἅπαξ τὸν Ναόν, ποιοῦσι στάσεις τρεῖς καὶ μνημονεύουσι πάντας κατὰ τὴν τάξιν, ὁ ἐκκλησιάρχης κρούει τὸν κώδωνα πενθίμως, ὡς κρούει ὅταν αἴρεται λείψανον τεθνηκότος τινός. εἶτα εἰσελθόντες ἐντὸς τῆς Ἐκκλησίας καταθέτουσι τὸν Ἐπιτάφιον, ποιεῖ εἷς τῶν ἱερέων ἀπόλυσιν καὶ ἄρχεται κατόπιν ἡ ἱερὰ Μυσταγωγία.

Εἰς τὴν Εἴσοδον τοῦ Ἐπιταφίου ψάλλεται τὸ παρὸν εἰς ἦχον Β'.

Ὅτε ἐκ τοῦ ξύλου Σε νεκρὸν . . .

Ὅτε ἐκ τοῦ Οἴκου Σου νεκράν, οἱ Ἀπόστολοι Σε ἐπῆρον, τὴν τῶν πιστῶν καλλονήν, σμύρνῃ καὶ συνδόνι Σε Ἁγνὴ ἐκήδευσαν, καὶ τῷ πόθῳ ἠπείγοντο, καρδίᾳ καὶ χείλη Σῶμα τὸ Παναγιον Σοῦ περιπτύξασθαι. Ὅμως συστελλόμενοι φόβῳ, χαίροντες ἐβόων Σοι Μῆτερ, τοὺς πιστοὺς μὴ ὑπερίδῃς ἡμᾶς.

Τὸ παρὸν ψάλλεται ἐκ Γ'.

Τέλος τῆς Ἀκολουθίας τῆς Κοιμήσεως τῆς Θεοτόκου καὶ ἱερᾶς Μεταστάσεως Αὐτῆς, καὶ τῷ Υἱῷ Αὐτῆς, καὶ Θεῷ Λόγῳ, Δόξα, σὺν Αὐτῇ τῇ Παναγνῳ Μητρὶ Αὐτοῦ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ • ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ